ἐπὶ τῆς ΑΒ ἡμικύκλιον τὸ ΑΔΒ. καὶ εἰς αὐτὸ ἐνηρμόσθω
τῇ Γ ἴση ἡ ΑΔ. καὶ ἐπεζεύχθω ἡ ΔΒ. φανερὸν δὴ ὅτι
ὀρθή ἐστιν ἡ ὑπὸ ΑΔΒ γωνία. καὶ ὅτι ἡ ΑΒ τῆς ΑΔ, του-
τέστι τῆς Γ, μεῖζον δύναται τῇ ΔΒ. ὁμοίως δὲ καὶ δύο
δοθεισῶν εὐθειῶν ἡ δυναμένη αὐτὰς εὑρίσκεται οὕτως.
ἔστωσαν αἱ δοθεῖσαι δύο
εὐθεῖαι αἱ ΑΔ, ΔΒ. καὶ δέον
ἔστω εὑρεῖν τὴν δυναμέ-
νην αὐτάς. κείσθω-
σαν γὰρ ὥστε ὀρθὴν
γωνίαν περιέχειν τὴν
ὑπὸ ΑΔ, ΔΒ. καὶ ἐπεζεύ-
χθω ἡ ΑΒ. φανερὸν
πάλιν ὅτι ἡ τὰς ΑΔ, ΔΒ δυναμένη ἐστὶν ἡ ΑΒ.



ιϛ Ἐὰν τέσσαρες εὐθεῖαι ἀνάλογον ὦσιν. δύνηται δὲ ἡ
πρώτη τῆς δευτέρας μεῖζον τῷ ἀπὸ συμμέτρου ἑ-
αυτῇ μήκει. καὶ ἡ τρίτη τῆς τετάρτης μεῖζον δυνή-
σεται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει. καὶ ἐὰν ἡ
πρώτη τῆς δευτέρας μεῖζον δύνηται τῷ ἀπὸ ἀσυμ-
μέτρου ἑαυτῇ μήκει, καὶ ἡ τρίτη τῆς τετάρτης μεί-
ζον δυνήσεται τῷ ἀπὸ ἀσυμμέτρου ἑαυτῇ μήκει.
ἔστωσαν τέσσαρες εὐθεῖαι ἀνάλογον αἱ Α Β Γ Δ. ὡς ἡ
Α πρὸς τὴν Β, οὕτως ἡ Γ πρὸς τὴν Δ. καὶ ἡ Α μὲν τῆς
Β μεῖζον δυνάσθω τῷ ἀπὸ τῆς Ε. ἡ δὲ Γ τῆς Δ
μεῖζον δυνάσθω τῷ ἀπὸ τῆς Ζ. λέγω ὅτι εἴτε σύμ-
μετρός ἐστιν ἡ Α τῇ Ε. σύμμετρός ἐστιν καὶ ἡ Γ τῇ Ζ.

[illegible]

εἴτε ἀσύμμετρός ἐστιν ἡ Α τῇ Ε. ἀσύμμετρός ἐστιν καὶ ἡ Γ τῇ Ζ.
ἐπεὶ γάρ ἐστιν ὡς ἡ Α πρὸς τὴν Β οὕτως ἡ Γ πρὸς τὴν Δ,
ἔστιν ἄρα καὶ ὡς τὸ ἀπὸ τῆς Α πρὸς τὸ ἀπὸ τῆς Β. οὕτως
τὸ ἀπὸ τῆς Γ πρὸς τὸ ἀπὸ τῆς Δ. ἀλλὰ τῷ μὲν ἀπὸ
τῆς Α ἴσα ἐστὶ τὰ ἀπὸ τῶν Ε Β. τῷ δὲ ἀπὸ τῆς Γ
ἴσα ἐστὶ τὰ ἀπὸ τῶν Δ Ζ. ἔστιν ἄρα ὡς τὰ ἀπὸ τῶν Ε Β
πρὸς τὸ ἀπὸ τῆς Β. οὕτως τὰ ἀπὸ τῶν Δ Ζ πρὸς
τὸ ἀπὸ τῆς Δ. διελόντι ἄρα ἐστὶν ὡς τὸ ἀπὸ τῆς Ε πρὸς τὸ ἀ-
πὸ τῆς Β. οὕτως τὸ ἀπὸ τῆς Ζ πρὸς τὸ ἀπὸ τῆς Δ.
ἔστιν ἄρα καὶ ὡς ἡ Ε πρὸς τὴν Β. οὕτως ἡ Ζ πρὸς τὴν Δ.
ἀνάπαλιν ἄρα ἐστὶν ὡς ἡ Β
πρὸς τὴν Ε. οὕτως ἡ Δ πρὸς
τὴν Ζ. ἔστι δὲ καὶ ὡς ἡ Α πρὸς
τὴν Β οὕτως ἡ Γ πρὸς τὴν Δ.
δι᾽ ἴσου ἄρα ἐστὶν ὡς ἡ Α πρὸς
τὴν Ε. οὕτως ἡ Γ πρὸς τὴν Ζ.
εἴτε οὖν σύμμετρός ἐστιν ἡ Α
τῇ Ε. σύμμετρός ἐστιν καὶ ἡ Γ
τῇ Ζ. εἴτε ἀσύμμετρός ἐστιν
ἡ Α τῇ Ε. ἀσύμμετρός ἐστιν
καὶ ἡ Γ τῇ Ζ. ἐὰν ἄρα καὶ τὰ ἑξῆς.



ιζ Ἐὰν δύο μεγέθη σύμμετρα συντεθῇ. καὶ τὸ ὅλον ἑκατέ-
ρῳ αὐτῶν σύμμετρον ἔσται. κἂν τὸ ὅλον ἑνὶ αὐτῶν σύμ-
μετρον ᾖ. καὶ τὰ ἐξ ἀρχῆς μεγέθη σύμμετρα ἔσται. συγ-
κείσθω γὰρ δύο μεγέθη σύμμετρα τὰ ΑΒ ΒΓ. λέ-
γω ὅτι καὶ ὅλον τὸ ΑΓ ἑκατέρῳ τῶν ΑΒ ΒΓ ἐστὶ σύμμετρον.

BIBL. BODL.

EUCLID *Elementa* BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo